# ESCHILO



**<u>PASSI SCELTI</u>:**

- ***I Persiani*** **vv. 353-395**
- ***Agamennone*** **vv. 160-181**
  **vv. 1373-1406**

**--------------------------------------------------------------------------**

**Totale versi 96**

## *I Persiani,* vv. 353-395

353. Αγ. ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ

……………………………………………………………………………………………

354. φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.

……………………………………………………………………………………………

355. ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ

……………………………………………………………………………………………

356. ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,

……………………………………………………………………………………………

357. ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,

……………………………………………………………………………………………

358. Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν

……………………………………………………………………………………………

359. ναῶν ἐπανθορόντες ἄλλος ἄλλοσε

……………………………………………………………………………………………

360. δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.

……………………………………………………………………………………………

361. ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον

……………………………………………………………………………………………

362. Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,

……………………………………………………………………………………………

363. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον,

……………………………………………………………………………………………

364. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα

……………………………………………………………………………………………

365. λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,

366. τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισίν,

367. ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ,

368. ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους.

369. ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,

370. ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,

371. πᾶσιν στέρεσθαι κρατὸς ἦν προκείμενον.

372. τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενός·

373. οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.

374. οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ

375. δεῖπνόν <τ'> ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ

376. τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.

377. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο

378. καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ

379. ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης·

380. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς,

381. πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος.

382. καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν

383. ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.

384. καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς

385. κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·

386. ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα

387. πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,

388. πρῶτον μὲν † ἠχῇ κέλαδος Ἑλλήνων πάρα

389. μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα

390. ἀντηλάλαξε νησιώτιδος πέτρας

391. ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν

392. γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ

393. παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,

394. ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει·

395. σάλπιγξ δ' ἀυτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.

(στρ. β.)

160. Ζεύς, ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐ-

..........................................................................................................................................

161. τῷ φίλον κεκλημένῳ,

..........................................................................................................................................

162. τοῦτό νιν προσεννέπω.

..........................................................................................................................................

163. οὐκ ἔχω προσεικάσαι

..........................................................................................................................................

164. πάντ' ἐπισταθμώμενος

..........................................................................................................................................

165. πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος

..........................................................................................................................................

166. χρὴ βαλεῖν ἐτητύμως.

..........................................................................................................................................

(ἀντ. β.)

167. οὐδ' ὅστις πάροιθεν ἦν μέγας,

..........................................................................................................................................

168. παμμάχῳ θράσει βρύων,

..........................................................................................................................................

169. οὐδὲ λέξεται πρὶν ὤν·

..........................................................................................................................................

170. ὃς δ' ἔπειτ' ἔφυ, τρια-

..........................................................................................................................................

κτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν,

(στρ. γ.)

τὸν φρονεῖν βροτοὺς ὁδώ-
σαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἀνθ' ὕπνου πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄ-
κοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις βίαιος
σέλμα σεμνὸν ἡμένων.

1372. Κλ. πολλῶν πάροιθεν καιρίως εἰρημένων

1373. τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.

1374. πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις

1375. δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν

1376. φράξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;

1377. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι·

1378. νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·

1379. ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.

1380. οὕτω δ' ἔπραξα—καὶ τάδ' οὐκ ἀρνήσομαι—

1381. ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.

1382. ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,

1383. περιστιχίζω, πλοῦτον εἵματος κακόν,

παίω δέ νιν δίς· κἀν δυοῖν οἰμωγμάτοιν
μεθῆκεν αὑτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονός,
Ἅιδου, νεκρῶν σωτῆρος, εὐκταίαν χάριν.
οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσών,
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότῳ
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,

τῷδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·
τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
Χο. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
Κλ. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω—σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις
ὅμοιον—οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ τῆσδε δεξιᾶς χερός,
ἔργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.

353. Αγ. ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
354. φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
355. ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
356. ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
357. ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
358. Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν
359. ναῶν ἐπανθορόντες ἄλλος ἄλλοσε
360. δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
361. ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
362. Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
363. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον,
364. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
365. λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
366. τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισίν,
367. ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ,
368. ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους.
369. ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
370. ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
371. πᾶσιν στέρεσθαι κρατὸς ἦν προκείμενον.
372. τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενός·
373. οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
374. οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
375. δεῖπνόν <τ'> ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
376. τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
377. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
378. καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
379. ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης·
380. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς,
381. πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος.
382. καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
383. ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
384. καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
385. κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
386. ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
387. πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
388. πρῶτον μὲν † ἠχῇ κέλαδος Ἑλλήνων πάρα

389. μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα
390. ἀντηλάλαξε νησιώτιδος πέτρας
391. ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
392. γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
393. παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
394. ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει·
395. σάλπιγξ δ' ἀυτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.

## *Agamennone*, vv. 160-181

(στρ. β.)

160. Ζεύς, ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐ-
161. τῷ φίλον κεκλημένῳ,
162. τοῦτό νιν προσεννέπω.
163. οὐκ ἔχω προσεικάσαι
164. πάντ' ἐπισταθμώμενος
165. πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
166. χρὴ βαλεῖν ἐτητύμως.

(ἀντ. β.)

167. οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
168. παμμάχῳ θράσει βρύων,
169. οὐδὲ λέξεται πρὶν ὤν·
170. ὃς δ' ἔπειτ' ἔφυ, τρια-
171. κτῆρος οἴχεται τυχών.
172. Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
173. τεύξεται φρενῶν τὸ πᾶν,

(στρ. γ.)

174. τὸν φρονεῖν βροτοὺς ὁδώ-
175. σαντα, τὸν πάθει μάθος
176. θέντα κυρίως ἔχειν.
177. στάζει δ' ἀνθ' ὕπνου πρὸ καρδίας
178. μνησιπήμων πόνος· καὶ παρ' ἄ-
179. κοντας ἦλθε σωφρονεῖν.
180. δαιμόνων δέ που χάρις βίαιος
181. σέλμα σεμνὸν ἡμένων.

1372. Κλ. πολλῶν πάροιθεν καιρίως εἰρημένων
1373. τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
1374. πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
1375. δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
1376. φράξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
1377. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι·
1378. νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
1379. ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.
1380. οὕτω δ' ἔπραξα—καὶ τάδ' οὐκ ἀρνήσομαι—
1381. ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.
1382. ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
1383. περιστιχίζω, πλοῦτον εἵματος κακόν,
1384. παίω δέ νιν δίς· κἀν δυοῖν οἰμωγμάτοιν
1385. μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
1386. τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονός,
1387. ῞Αιδου, νεκρῶν σωτῆρος, εὐκταίαν χάριν.
1388. οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσών,
1389. κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
1390. βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
1391. χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότῳ
1392. γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
1393. ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
1394. χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
1395. εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,
1396. τῷδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·
1397. τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
1398. πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
1399. Χο. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
1400. ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
1401. Κλ. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
1402. ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
1403. λέγω—σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις
1404. ὅμοιον—οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
1405. πόσις, νεκρὸς δὲ τῆσδε δεξιᾶς χερός,
1406. ἔργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.